Ephraem Syrus; Assemani, Giuseppe Simone [Hrsg.]: Sancti Patris Nostri Ephraem Syri Opera Omnia: quae exstant, graece, syriace, latine; in sex tomos distributa; ad MSS. Codices Vaticanos aliosque castigata, multis aucta, Nova interpretatione, Praefationibus, Notis, variantibus Lectionibus illustrata: Nunc primum sub Auspiciis Sanctissimi Patris ... Pontifecis Maximi e Bibliotheca Vaticana (Tomus Primus Graece, Et Latine)

1732 Seite 9



τος, καὶ τῆς ἀμέτρου χαρᾶς καὶ ἀγαλλιάσεως. Σπεύσατε οὖν, σπεύσατε παρακαλῶ· κτήσασθε πραότητα· ὁ γὰρ πρᾶος παντὶ ἔργῳ ἀγαθῷ κεκόσμηται. Ὁ πρᾶος, κἂν ὑβρίζηται, χαίρει· κἂν θλίβηται, εὐχαριστεῖ· τοὺς ὀργιζομένους πραΰνει ἐν ἀγάπῃ· ἐπιπλησσόμενος, στερεὸς μένει· ἐν μάχῃ γαληνιᾷ· ἐν ἐπιταγῇ ἀγαλλιᾶται· ἐν ὑπερηφανίᾳ οὐ κνίζεται· ἐν ταῖς ταπεινώσεσι χαίρει· ἐν κατορθώμασιν οὐχ ὑψοῦται, οὐ γαυριᾷ· πρὸς πάντας ἡσυχίαν ἄγει· ἐν πάσῃ ὑποταγῇ δεδούλωται· πρὸς πᾶν ἔργον ἕτοιμος ὑπάρχει· ἐν πᾶσιν εὐδοκιμεῖ· παρὰ πάντων ἐπαινεῖται· πονηρίας ἐκτὸς, καὶ ὑποκρίσεως μακρὰν ὑπάρχει. Ὁ τοιοῦτος δόλῳ οὐ δεδούλωται, καὶ φθόνῳ οὐχ ὑποτάσσεται· λοιδορίας ἀποστρέφεται, καταλαλιὰν οὐ παραδέχεται· τοὺς ψέγοντας μισεῖ, καὶ τοὺς καταλαλοῦντας ἀποστρέφεται. ὢ μακάριος πλοῦτος ἡ πραότης, ὅτι παρὰ πάντων δοξάζεται.

ſo, & lætitia inenarrabili excidat. Contendite igitur, contendite, obſecro, ut manſuetudinem poſſideatis. Nam vir manſuetus omnibus operibus bonis decoratur. Quamvis afficiatur injuria, lætatur: quamvis rebus adverſis prematur, gratias agit: in caritate iraſcentes placat: increpationes aliorum fortiter tolerat: in pugna tranquillus eſt, & ſub imperio alterius lætus vivit. Non pungitur ſtimulis ſuperbiæ: in depreſſionibus lætatur: recte factis non extollitur, nec de iis ſe jactat. Cum omnibus ſe pacificum exhibet: ſuperiorum juſſis prorſus obtemperat: ad omne opus bonum promtus eſt: in omnibus rebus probatur, & a quibuſcumque laudatur. Omnis malitiæ expers eſt, & a ſimulatione diſtat quam longiſſime: a dolo & invidia hic alieniſſimus eſt. Averſatur maledicentiam, & detractores fugit. O felices divitias manſuetudinis, quæ ab omnibus celebratur & collaudatur.

## ΙΒ.

## ΠΕΡΙ ΠΟΝΗΡΙΑΣ.

Θρηνεῖν οὖν, ἀδελφοὶ, καὶ πενθεῖν ἐπὶ τοὺς μὴ ἔχοντας πραότητα, ἀλλὰ τῇ πονηρίᾳ συνεζευγμένους, ὅτι ἀποφάσει πονηρᾷ ὑπόκεινται· οἱ πονηρευόμενοι γὰρ, φησὶν, ἐξολοθρευθήσονται. Ὁ δὲ ἅγιος ἡμῶν Θεὸς τοὺς τοιούτους ἐνυβρίζει, λέγων· ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας αὐτοῦ προφέρει τὰ πονηρά. Καὶ πάλιν ὁ Προφήτης· ἐν τοῖς ἐπανισταμένοις ἐπ᾽ ἐμὲ πονηρευομένοις, ἀκούσεται τὸ οὖς μου. Δεινὸν γὰρ δαιμόνιον τὸ τῆς πονηρίας, ἀδελφοί. διὸ προσέχετε μή τις ἐν αὐτῷ ἐμπεσὼν, ἑαυτῷ μέμψηται. Ὁ πονηρὸς γὰρ οὐδέποτε εἰρηνεύει, ἀλλὰ πάντοτε ἐν ταραχαῖς ὑπάρχει, πάντοτε θυμοῦ, καὶ δόλου, καὶ ὀργῆς πεπλήρωται, πάντοτε ἀποβλέπεται τὸν ἔγγιστα αὐτοῦ, πάντοτε ψιθυρίζει, πάντοτε φθονεῖ, πάντοτε ζηλεύει, πάντοτε τραχύνεται, πάντοτε ἐπιτάσσεται καὶ ἀντιλέγει, κελεύεται καὶ διαστρέφει, συμβουλεύεται καὶ κακοποιεῖ, συντίθεται καὶ διασύρει, ἀναπάται καὶ σκώπτει· τοὺς εὐδοκιμοῦντας βδελύσσεται· τοὺς προσκόπτοντας ἀηδίζεται· τὰς νουθεσίας σμικρύνει· τοὺς ἀδελφοὺς διαστρέφει· τοὺς ἀφελεῖς κακοῖ· τοὺς πραεῖς ἀποσείεται· τοὺς μακροθυμοῦντας ἐγγελᾷ· τοὺς ξένους ὑποκρίνεται· ἕνα τῷ ἑνὶ ἐνδιαβάλλει· πρὸς ἕνα ἕκαστον ἐναντιάζεται· πρὸς μάχας συμβάλλεται· εἰς παροξυσμὸν ἀναγείρει· εἰς ἀνταπόδοσιν συνεπαμύνει· εἰς λοιδορίας ἕτοιμος, εἰς καταλαλιὰς ἡδὺς, εἰς ὕβριν εὐ-

## XII.

### *De Malitia ſive Improbitate.*

Lugendi itaque, fratres, & deplorandi ſunt illi, qui manſuetudinis expertes, malitiæ atque improbitatis vinculis conſtricti ſunt: gravi enim iſti ſubjacent ſententiæ: *Quoniam qui malignantur, exterminabuntur.* Quin & ſanctus Deus noſter eosdem coarguit, dicens: *Malus homo de malo theſauro cordis ſui profert mala.* Et rurſus Propheta: *Inſurgentibus*, inquit, *in me malignantibus, audiet auris mea.* Grave malitiæ dæmonium eſt, fratres. Proinde orate, nequis in ipſum incidens, ſe ipſe reprehenſione dignum conſtituat. Nunquam enim in pace eſt malignus; ſed ſemper perturbationibus agitatur: ſemper bile, ac dolo, & ira plenus eſt: ſemper proximum ſuum deſpicit, ſemper ſubmurmurat, ſemper invidet, ſemper æmulatur, ſemper exaſperatur: ſemper ſuperiorum mandatis refragatur, juſſaque pervertit: ſana conſilia aſpernatur, & bona inſtituta diſſolvit. Eos, a quibus diligitur, illudit: commendantes ſe, ſpernit: proficientes contriſtat, admonitiones parvi facit, fratres dirimit, ſimplices vexat, manſuetos repellit, patientes irridet, peregrinos averſatur, alios alibi calumniis premit, ſingulis adverſatur, iracundiam excitat, ad vindictam impellit, ad convicia promtus, ad detractiones facilis, ad maledicentiam proclivis, ad contumeliam paratus, ad lo-

Pſalm. 37. Matth. 12. Luc. 6. Pſalm. 92.



http://dl.ub.uni-freiburg.de/diglit/ephraem1732-1/0257
© Universitätsbibliothek Freiburg
gefördert durch Baden-Württemberg